ΤΗ Η΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ

† Μνήμη τοῦ Ἁγίου Αἰμιλιανοῦ, Ἐπισκόπου Κυζίκου.

Εἰς τὸν Ὄρθρον

Ἦχος Γα



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.



Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

Ἀπολυτίκιον τῆς Ἑορτῆς

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδυναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

Ἀπολυτίκιο τῆς ἑορτῆς Ἦχος Βαρύς



Δόξα... **Κ**αὶ νῦν... *τὸ αὐτό*

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς

Ἦχος δ΄

Ἐπεφάνης σήμερον

Ἑορτὴ ὑπέρλαμπρος, ἡ τοῦ Δεσπότου, ἦλθε, δεῦτε ἅπαντες, ἐπὶ τῷ ὄρει νοερῶς, προκαθαρθέντες ἀνέλθωμεν, τῷ Θαβωρίῳ Χριστὸν ἐποψόμενοι.

Δόξα... Καὶ νῦν... Τὸ αὐτὸ

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς

Ἦχος δ΄

Κατεπλάγη Ἰωσήφ

Τὴν μεθέορτον πιστοί, ἡμέραν σήμερον φαιδρῶς, τῆς ἐνδόξου καὶ φρικτῆς, Μεταμορφώσεως Χριστοῦ, ἐπιτελοῦντες βοήσωμεν ὁμοφρόνως. Τὸ φύραμα ἡμῶν, ἀνεμορφώσω Σωτήρ, τῇ θείᾳ σου σαρκί, συναπαστράψας αὐτῷ, καὶ ἀποδοὺς τὸ πρώτιστον ἀξίωμα, τῆς ἀφθαρσίας ὡς εὔσπλαγχνος· διὸ σε πάντες, δοξολογοῦμεν, τὸν μόνον Θεόν ἡμῶν.

Δόξα... Καὶ νῦν... Τὸ αὐτὸ

Εἶτα ἀναγινώσκεται ὁ Ν' ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Πρῶτος Κανὼν τῆς Ἑορτῆς,
ὨΙδὴ α΄. Ὁ Εἱρμὸς

Χοροὶ Ἰσραήλ, ἀνίκμοις ποσί, πόντον ἐρυθρόν, καὶ ὑγρὸν βυθὸν διελάσαντες, ἀναβάτας τριστάτας, δυσμενεῖς ὁρῶντες ἐν αὐτῷ ὑποβρυχίους, ἐν ἀγαλλιάσει ἔμελπον· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ῥήματα ζωῆς τοῖς φίλοις Χριστός, καὶ περὶ τῆς θείας δημηγορῶν βασιλείας ἔφη· Ἐν ἐμοὶ τὸν Πατέρα ἐπιγνώσεσθε, φωτὶ ὡς ἐξαστράψω ἀπροσίτῳ, ἐν ἀγαλλιάσει μέλποντες· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰσχὺν τῶν ἐθνῶν κατέδεσθε, φίλοι Μαθηταί, θαυμασθήσεσθε δὲ τῷ πλούτῳ αὐτῶν, ὅτι δόξης πληροῦσθε, ὡς ὀφθήσομαι, λαμπρότερος ἡλίου ἐξαστράπτων, ἐν ἀγαλλιάσει μέλποντες· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σήμερον Χριστὸς ἐν ὄρει Θαβώρ, λάμψας ἀμυδρῶς, θεϊκῆς αὐγῆς ὡς ὑπέσχετο, Μαθηταῖς παρεγύμνου χαρακτῆρα· σελασφόρου δὲ πλησθέντες θείας αἴγλης, ἐν ἀγαλλιάσει ἔμελπον· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὁ Κανὼν τοῦ Ἁγίου Ὁσιομάρτυρος

Ὠδὴ α΄

Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πρὸς τὸν Θεὸν ἐκδημήσας μαρτυρικῇ, διαλάμπων χάριτι, τοῖς ὑμνοῦσί σε πιστῶς, φωτοφόρον ἔμπνευσον αὐγήν, ἱκετεύων τὸν Χριστὸν θεομακάριστε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥήξας τοὺς βρόχους τῆς πλάνης εἰλικρινῶς, τῷ Χριστῷ προσέδραμες, διανοίᾳ καθαρᾷ, τὰ Περσῶν σεβάσματα λιπών, καὶ τῶν Μάγων ἐκφυγὼν τὴν ἀθεότητα.

Δόξα...

Ἐπιστημόνως σκοπήσας ὡς οὐ Θεός, ὡς κτιστὸς ὁ ἥλιος, ὡς οὐδὲν τῶν ὁρατῶν, ἐπὶ τὸν ἀόρατον Θεόν, ὡδηγήθης λογισμῷ σοφῷ χρησάμενος.

Καὶ νῦν... Θεοτοκίον

Σὲ Παναγία Παρθένε τὴν τὸν Υἱὸν τοῦ Θεοῦ γεννήσασαν, γεγονότα καθ΄ ἡμᾶς, δι΄ ἡμᾶς κηρύττομεν ἁγνή, Θεομήτορα πιστοὶ καὶ μακαρίζομεν.

Κανών α΄, Ὠδὴ γ΄, τῆς Ἑορτῆς

Ἦχος δ΄

Ὁ Εἱρμὸς

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.(Δὶς)

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὅλον τὸν Ἀδὰμ φορέσας Χριστέ, τὴν ἀμαυρωθεῖσαν ἀμείψας ἐλάμπρυνας πάλαι φύσιν, καὶ ἀλλοιώσει τῆς μορφῆς σου ἐθεούργησας.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Στύλῳ πυριμόρφῳ καὶ νεφέλῃ πάλαι, ὁ ἐν τῇ ἐρήμῳ τὸν Ἰσραὴλ ἄγων, σήμερον ἐν τῷ ὄρει Θαβὼρ ἀρρήτως, ἐν φωτὶ Χριστὸς ἐξέλαμψεν.

Κανών α΄, Ὠδὴ γ΄

Ἦχος πλ. β΄

Οὐκ ἔστιν Ἅγιος ὡς σὺ

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βεβαίᾳ πίστει στηριχθείς, ὡς ἀκλόνητος πύργος, ἀπερίτρεπτος ὤφθης, οὐ λόγοις τοῖς μαγικοῖς, οὐ γνώσεως Περσικῆς, γοητείαις περιεργαζόμενος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰὸν ψυχόλεθρον φυγών, τοῦ τῇ κτίσει λατρεύειν, καὶ τὸν ἥλιον σέβειν, τὸν ὄντως ὄντα Θεόν, ὡς πάντων Δημιουργόν, εὐσεβείας πόθῳ ἐξεζήτησας.

Δόξα...

Ναμάτων θείων μετασχών, τῆς παλιγγενεσίας, τὴν ψυχὴν κατηυγάσθης, καὶ γέγονας ἀληθῶς, υἱὸς χάριτι Θεοῦ, κληρονόμος θείων ἀπολαύσεων.

Καὶ νῦν... Θεοτοκίον

Σοφία οἶκον ἑαυτῇ, ᾠκοδόμησε θεῖον, ὑπὲρ νοῦν τε καὶ λόγον, σκηνώσασα τὴν ἁγνήν, γαστέρα σου τὴν σεπτήν, καθαρθεῖσαν Πνεύματι Πανύμνητε.

Ὠδὴ γ΄,
τοῦ Μηναίου
Ὁ Εἱρμὸς.
Πλ. β΄

Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου Ἀγαθέ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέτρᾳ, τῆς ὁμολογίας σου».



Κάθισμα
Ἦχος γ΄
Τὴν ὡραιότητα

Τὴν ὡραιότητα Χριστοῦ ἐπόθησας, καὶ δι΄ ἀσκήσεως πάθη ἐνέκρωσας, καὶ ἐναθλήσας καρτερῶς, τὴν πλάνην ἀπετέφρωσας, Ἔνδοξε Δομέτιε, τῶν Ἀγγέλων συνόμιλε· ὅθεν καὶ ἰάσεων, ῥεῖθρα βρύεις τοῖς πίστει σου, τὴν μνήμην ἐπιτελοῦσι τὴν θείαν, Μάρτυς ἀξιοθαύμαστε.

Δόξα... Καὶ νῦν... Τῆς Ἑορτῆς

Τῆς θείας δόξης σου, ὄντως ἀπαύγασμα, καθὼς ἠδύναντο, ἔδειξας Λόγε Θεοῦ, τοῖς μαθηταῖς σου ἐν Θαβώρ, ὄρει μεταμορφούμενος, οἷς συνελλαμφθείημεν, καὶ ἡμεῖς οἱ ὑμνοῦντές σε, μόνε ἀναλλοίωτε, Ἰησοῦ παντοδύναμε, ἐν πίστει σοι συμφώνως βοῶντες· Δόξα Χριστὲ τῇ βασιλείᾳ σου

Ὠδὴ στ΄, τοῦ Μηναίου
Πλ. β΄ . Ὁ Εἱρμὸς

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμών, βοῶ σοι· Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.



Κοντάκιον τῆς Ἑορτῆς

Ἦχος βαρὺς

Αὐτόμελον

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Συναξάριον

Τῇ Ζ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ὁσιομάρτυρος Δομετίου τοῦ Πέρσου.

Στίχοι

Ὑπὲρ τὰ πάντα σοι συναθλεῖν ἐκ λίθων,
Μύστας Πάτερ σούς, ἐξεπαίδευσας τάχα.
Σὺν δυσὶν ἑβδομάτῃ Δομέτιος ἐλεύσθη μύσταις.

Ὁ ὅσιος Δομέτιος ὁ σημειοφόρος, ὁ ἐν τοῖς ὁρίοις τῆς τοῦ Φιλοθέου μονῆς ἀσκήσας, ἐν εἰρήνῃ τελειοῦται.

Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νικάνορος τοῦ θαυματουργοῦ, τοῦ ἐν τῷ τοῦ Καλλιστράτου ὄρει ἀναλάμψαντος.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος, Ὥρ ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Ἐκ γῆς ἀπελθών, Ὥρ ἐμὸς λέγει.

Χάρις, Ὑπὲρ τὸν Ὥρ πέφυκε τὸν σόν, ὦ Νόμε.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ὅσιοι μύριοι Ἀσκηταὶ οἱ Θηβαῖοι ἐν εἰρήνῃ τελειοῦνται.

Στίχοι

Γῆς ἐξελαύνεις, εἰς τὸ Δαυῒδ χρὴ λέγειν,

Τὸ μυριοπλάσιον ἅρμα σου Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ὁσία Ποταμία ἡ θαυματουργὸς ξίφει τελειοῦται.

Στίχοι

Ὑπὲρ Χριστοῦ κτανθεῖσα θαυμαστὴ ξίφει,

Χέει ποταμοὺς θαυμάτων Ποταμία.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Νάρκισσος, Ἀρχιεπίσκοπος Ἱεροσολύμων, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Ἠδὺ πνέων, Νάρκισσε, ναρκίσσου πλέον,

Εὐωδιάζεις τῆς Ἐδὲμ τὸ χωρίον.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Ἀστέριος ὁ θαυματουργὸς ξίφει τελειοῦται.

Στίχοι

Τράχηλον Ἀστέριος ἐκκοπεὶς ξίφει,
Χοροῖς ἀθλητῶν, οἷον ἀστὴρ ἐμπρέπει.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Σώζων, ὁ ἐκ Νικομηδείας, εἰς πῦρ βληθείς, καὶ ἀβλαβὴς ἐξελθών, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Ὑπῆρχεν ἄλλη σαλαμάνδρα πρὸς φλόγα,
Σώζων ὁ Μάρτυς, οὗ τέλος πυρὸς δίχα.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Ὑπερέχιος ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Ὑπερέχιος, κἂν τάφῳ κατεκρύβη,
Πέφυκεν ἴσος τοῖς χοροῖς τῶν Ἀγγέλων.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ η΄, τοῦ μηναίου

Ἦχος πλ. β΄ . Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας, καὶ Δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ δρὰς Χριστέ,, μόνω τῷ βούλεσθαι· Σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἦχος λ Βου



Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς...

Τιμιωτέρα πλ. β' ἦχου.

Ἦχος Δι

Στίχος α'



Στίχος β'

γαρ α πο του νυν μα κα ρι ου σι με πα
σαι αι γε νε αι


Β
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε


ρα φιμ την α δι α φθο ρως Θε ον Λο


γον τε κου σαν την ο ον τως Θε ο το κον Σε

με γα λυ νο με εν

Σπίχος γ΄


Ο τι ε ποι η σε μοι με


γα λει α ο Δυ να τος και α γι ον

το ο νο μα αυ του και το ε λε ος


αυ του εις γε νε αν και γε νε αν τοις φο

βου με νοις αυ τον
Β
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε
ρα φιμ την α δι α φθο ρως Θε ον Λο
γον τε κου σαν την ο ον τως Θε ο το κον Σε
με γα λυ νο με εν
Σπίχος δ'
Θ ποι η σε κρα τος εν βρα
χι ο νι αυ του δι ε σκορ πι σεν υ
πε ρη φα νους δι α νοι α καρ δι ας αυ
των
Β
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ

και εν δο ξο τε ραν α συγ κρι τως των Σε

ρα φιμ τ̀ην α δι α φθο ρως Θε ον Λο

γον τε κου σαν τ̀ην ο ον τως Θε ο το κον Σε

με γα λυ νο με εν

Σπίχος ε΄

Κα θει λε δυ να στας α πο


θρο νων και υ ψω σε τα πει νους π̀ει νων τας

ε νε πλη σεν α γα θων και πλου τουν

τας ε ξα πε στει λε κε νους

Β

Τ̀ην Τι μι ω τε ραν των Χε ρου βιμ

και εν δο ξο τε ραν α συγ κρι τως των Σε

ρα φιμ τ̀ην α δι α φθο ρως Θε ον Λο


γον τε κου σαν την ο ον τως Θε ο το κον Σε
με γα λυ νο με εν
Σπίχος στ'
Ἄν τε λα βε το Ισ ρα ηλ
παι δος αυ του μνη σθη ναι ε λε ους κα
θως ε λα λη σε προς τους πα τε ρας η
μων τω Α βρα αμ και τω σπερ μα τι αυ
του ε ως αι ω ω νος
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε
ρα φιμ την α δι α φθο ρως Θε ον Λο
γον τε κου σαν την ο ον τως Θε ο το κον Σε

Κανών α΄, Ὠδὴ θ΄, τῶν Ἁγίων Μαρτύρων
Ἦχος πλ. β΄ . Ὁ Εἱρμὸς

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα· διὰ σοῦ δὲ Πάναγνε, ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος· ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.



Ἦχος λ Βου

Ἄ ξι ον ε στιν ως α λη θως μα κα ρι
ζειν σε την Θε ε ο το κον την α ει μα
κα ρι στον και πα να μω μη τον και μη
τε ρα του Θε ου η μων την τι μι ω
τε ε ραν τω Χε ρου βιμ και εν δο ξο
τε ραν α συγ κρι τως των Σε ρα φιμ την α δι
α φθο ο ρως Θε ον Λο γο ον τε κου σαν την
ο ον τως Θε ο το ο ο κον σε με γα
λυ υ νο με ε εν

Ἐξαποστειλάριον τοῦ Ἁγίου Ὁσιομάρτυρος

Ἦχος β΄

Τοῖς Μαθηταῖς συνέλθωμεν

Ἐκ Περσικῆς ὁρμώμενος, χώρας τῆς πυρσολάτρου, τῇ τοῦ Χριστοῦ προσέδραμες, ἐκ παιδὸς θείᾳ πίστει, Δομέτιε θεοκήρυξ· ὅθεν Πάτερ ἐν ὕμνοις, ὡς ἀσκητὴν τιμῶμέν σε, καὶ ὡς μάρτυρα θεῖον καὶ τῶν φρικτῶν, μυστηρίων ἔνθεον Ἱερέα, καὶ πρέσβυν τῶν τελούντων σου, τὴν σεβάσμιον μνήμην.

Ἐξαποστειλάριον τῆς Ἑορτῆς

Ἦχος β΄

Τοῖς Μαθηταῖς συνέλθωμεν

Πρὸ τοῦ Σταυροῦ σου Κύριε, μαθητῶν τοὺς προκρίτους, λαβὼν μετεμορφώθης νῦν, ἐν Θαβὼρ τῷ ἁγίῳ, ἐν ᾧ Μωσῆς καὶ Ἠλίας, παρειστήκεισαν τρόμῳ, δουλοπρεπῶς σοι Δέσποτα, συλλαλοῦντες· μεθ΄ ὧν σε, Χριστὲ Σωτήρ, σὺν Πατρὶ καὶ Πνεύματι προσκυνοῦμεν, τὸν ἐκ Παρθένου λάμψαντα, εἰς βροτῶν σωτηρίαν.

ΑΙΝΟΙ

ΨΑΛΜΟΣ ΡΜΗ′ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοὶς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν,

ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ΄ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί

τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ

φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας.....

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.

Μεθέορτα

Ἀπόστιχα

Εἰς τὸν Στίχον τῶν Αἴνων, Σπιχηρὰ Προσόμοια.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ

Φύσιν τὴν ἐξ Ἀδάμ, Χριστὲ ἀμεῖψαι θέλων, ἐν ὄρει νῦν ἀπαίρεις Θαβώρ, παραγυμνώσων, τοῖς μύσταις τὴν Θεότητα.

Στίχ. Σοὶ εἰσιν οἱ οὐρανοί, καὶ σὴ ἐστιν ἡ γῆ.

Ὤφθης τὸ πρὶν Χριστέ, Μωσεῖ τε καὶ Ἠλίᾳ, ἐν γνόφῳ καὶ θυέλλῃ, καὶ αὔρᾳ λεπτοτάτῃ, νῦν δὲ φωτὶ τῆς δόξης σου.

Στίχ. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.

Σέλας τὸ τριλαμπές, ἀστράψας ἀπορρήτως, τῆς θεϊκῆς σου δόξης, Θαβὼρ ἐν ὄρει Σῶτερ, τὴν σύμπασαν ἐφαίδρυνας.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Ἦχος πλ. α΄

Νόμου καὶ Προφητῶν σε Χριστέ, ποιητὴν καὶ πληρωτὴν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ Μωσῆς ὁ θεόπτης, καὶ Ἠλίας ὁ ἔμπυρος ἁρματηλάτης, καὶ ἄφλεκτος οὐρανοδρόμος, ἐπὶ τῆς Μεταμορφώσεώς σου. Μεθ΄ ὧν καὶ ἡμᾶς, τοῦ σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα, ὑμνεῖν σε εἰς τοὺς αἰῶνας.

Ἦχος πλ. δ΄ Πα


Δο ο ξα Πα τρι ι ι ι και αι Υι ω
και Α γι ι ω Πνευ μα α α τι
Και νυν και α ει και εις τους αι ω ω
νας των αι ω ω ω νων α α α μην
Νο μου και Προ φη τω ω ων σε Χρι ι
στε ποι η την και αι πλη η ρω ω την ε
μαρ τυ υ υ υ ρη η η σαν ο ρων τες εν
τη η νε ε φε ε λη Μω υ υ ση η ης ο
ο θε ο ο ο ο πτης και αι Η η λι ι
ας ο εμ πυ ρος αρ μα τη η λα α α της

ο ο α φλε ε κτο ο ος ου ρα α νο δρο

ο ο ο μος χ ε πι της με ε τα α μορ φω ω ω

σε ω ω ω ως σου π μεθ ω ω ω ων και η

η μας χ του σου ου ου φω τι ι σμου ν′ α α ξι

ω ω σον Δε ε ε ε σπο ο ο τα χ υ μνη η

σαι εις του ους αι ω ω ω να α α α α α α

ας π

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ἀπολυτίκιον τῆς Ἑορτῆς

Ἦχος βαρὺς

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδυναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

Ἀπολυτίκιο

Ἦχος ϋ Γα



Εἰς τὴν Θείαν Λειτουργίαν

ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. Νη

1. 
Κυ ρι ε ε λε ε η σον

2. 
Κυ ρι ε ε λε ε ε η σον

3. 
Κυ ρι ε ε λε ε ε η σον

4. 
Κυ ρι ε ε λε ε ε η σον

5. 
Κυ ρι ε ε λε ε ε η σον

6.
Κυ ρι ε ε λε ε ε ε η σον

ΕΤΕΡΑ

1.
Κυ ρι ε ε λε ε ε η η σον

2. 
Κυ ρι ε ε ε λε ε ε η η σον

3. 
Κυ ρι ε ε λε η η σον


4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

Ἀντίφωνον α΄

Ἦχος Δι




ως ι μα τι ον
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Στίχος δ'. Τα ο ρη α γαλ λι α σον
ται α πο προ σω που Κυ ρι ου
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Δόξα... Καὶ νῦν...
Ταις πρε σβει αις της Θε ο το ο κου Σω
τερ σω σον η μα α ας

Ἀντίφωνον β΄


Ἀ μη η ην
Στίχος α΄. Οι θε με λι οι αυ του εν
τοις ο ρε σι τοις α γι οις
Σω σον η μα ας Υι ε Θε ου ο εν
τω ο ρει τω Θα βωρ με τα μορ φω θεις ψαλ
λον τας σοι αλ λη λου ι α
Στίχος β΄. Ἀ γα πα Κυ ρι ος τας πυ
λας Σι ων υ περ παν τα τα σκη νω μα τα
Ι α κωβ
Σω σον η μα ας Υι ε Θε ου ο εν



Στίχος γ'. Δε δο ξα σμε να ε λα λη



Σω σον η μας Υι ε Θε ου ο εν



Στίχος δ'. Μη τηρ Σι ων ε ρει αν θρω



Σω σον η μας Υι ε Θε ου ο εν


τω ο ρει τω Θα βωρ με τα μορ φω θεις ψαλ
λον τας σοι αλ λη λου ι α
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι αι
ω νας των αι αι ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων
και κα τα δε ξα με νος δι α την η με
τε ραν σω τη ρι ι αν σαρ κω θη η ναι
εκ της Α γι ας Θε ο το κου και α ει


παρ θε νου Μα ρι ας α τρε ε πτως ε εν
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε
ο Θε ος θα να α τω ω θα να τον πα τη σας
ει εις ων της Α γι ας Τρι α δος συν
δο ξα ζο ο με νος τω Πα τρι και τω Α
γι ω Πνευ μα τι σω σον η μα α ας

Εἶτα τὸ γ΄ Ἀντίφωνον

Ἦχος Βαρύς

Στίχος α΄.



Ἀπολυτίκιο τῆς ἑορτῆς Ἦχος Βαρύς



Στίχος β΄. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.

Στίχος γ΄. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.


Στίχος δ'.
Κυ ρι ε εν τω φω τι
του προ σω που σου πο ρευ σον ται και εν
τω ο νο μα τι σου α γαλ λι α σον
ται ο λην την η με ε ραν
Με τε μορ φω ω θης εν τω ο ρει Χρι
στε ε ο Θε ος δει ξας τοις Μα θη ταις σου την
δο ξαν σου κα θως η δυ ναν το λαμ ψον και η
μιν τοις α μαρ τω λοις το φως σου το α ι δι
ον προ σβει αις της Θε ο το κου φω το δο
τα δο ξα σοι οι οι οι οι οι οι

Εἰσοδικόν

Ἦχος Δι



Ἀπολυτίκιο Ἦχος πλ Γα





Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ

Κοντάκιον

Ἦχος Βαρύς Γα



ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ
ΠΑΡΑΣΚΕΥΗ Θ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος βαρύς

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 14:26-40

Ἀδελφοί, ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, γλῶσσαν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω. Εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω· ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ. Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν· ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. Δύνασθε γὰρ καθ΄ ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσιν καὶ πάντες παρακαλῶνται, καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται· οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς ἀλλὰ εἰρήνης. Ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων. Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτρέπεται

αὐταῖς λαλεῖν· ἀλλὰ ὑποτασσέσθαι, καθὼς καὶ ὁ νόμος λέγει. Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ ἐστιν γυναιξίν ἐν ἐκκλησίᾳ λαλεῖν. Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν; Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν ὅτι Κυρίου εἰσὶν ἐντολαί· εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. Ὥστε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε · πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

Ἀλληλούϊα Ἦχος α΄

Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς

Στίχ. **Ὁ** δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Ἦχος λ̈ π̈ Πα


Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Οι Κυ ρι ε
μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σω
Ἕτερον.
Οι οι οι οι οι Κυ ρι ε
Οι Κυ ρι ε ε ε ε ε ε
α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ΘΙC ΑΓΙΟC

Ἦχος πλ δ Πα Ἐναρμόνιος



Ἦχος γ΄τος


Θι ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ιστος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος πλ. Πα
Ἀ α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει καὶ τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν καὶ δι α α νοι οι αν
τα πα αν τα η μιν συγ χω ω ω ρη σον
ως α γα θο ος και αι αι φι λα α α
α αν θρω ω ω πο ο ο ος

Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος πλ. δ΄ Πα




μω ω ων προς ερ γα σι ι ι αν τω ω
ω ων ε εν το ο ο λω ω ω ων σου πρε
σβει ει αις της πα να χρα αν του ου ου σου
ου Μη η η τρος και πα αν τωων σου ου
των Α γι ω ω ων α μην

Κοινωνικόν

Τῇ Παρασκευῇ (Σταυρώσιμον)

Ἦχος δ΄ Δι΄ ΑΓΙΑ



Κοινωνικόν τῆς Παρασκευῆς.

Ψαλμός 73ος

Ἦχος πλ. α΄




α μει ει σου την θα α α λα α α ασ σαν
συ συ νε ε τρι ι ι ψας τας κε ψα λας των
δρα κο ον των ε πι ι του υ υ δα α το ο
ος A αλ λη λου ου ου ου ι α
Cυ δι ερ ρη ξας πη γα ας και χει ει
μα α α αρ ρους συ ε ξη ρα α νας πο τα μου
ου ους H η η η θα α αμ A α αλ λη
λου ου ι ι α
Cη ε στι ιν η η η με ε ε ρα και ση η
ε ε ε στι ιν η η η νυξ Συ κα τηρ
τι σω φα α αυ σιν και H η η λι ι ι ι ο


ο ον Α α αλ λη λου ου ι ι α
Συ ε ποι η σας παν τα τα ω ραι αι
αι α α τη ης γης θε ρος και ε ε ε αρ Συ
ε ποι οι η σα ας α αυ τα α α Α α αλ
λη λου ου ι ι α
να στα ο ο Θε ε ε ος ε πι
βλε ψον ε πι τη δι α θη κη ην σου μη ε πι
λα θη της φω νη ης των οι οι κε τω ω ων
σου ου ου Α α α λη ου ου ι ι α

Κοινωνικόν τῆς Παρασκευῆς. Ψαλμός 73ος
Ἡμερήσιος καταγραφή.

Ἦχος πλ. δ΄ Πα




α α α
Συ ε κρα ται ω σας εν τη δυ
να α μει ει σου την θα α α λα α α ασ
σαν συ συ νε ε τρι ι ι ψας τας κε ψα
λας των δρα κο ον των ε πι ι του υ υ δα α
το ο ος Α α αλ λη η η λου ου
ι ι ι α α α α
Συ δι ερ ρη ξας πη γα ας και χει ει
μα α α αρ ρους συ ε ξη ρα α νας πο τα
μου ου ους Η η η η θα α αμ Α α αλ
λη η η λου ου ι ι ι α α α α


Cη ε στι ιν η η η με ε ε ρα και
ση η ε ε ε στι ιν η η η νυξ Συ
κα τηρ τι σω φα α αυ σιν και Η η η λι ι
ι ι ο ο ον Α α αλ λη η η λου
ου ι ι ι α α α α
Cυ ε ποι η σας παν τα τα ω ραι
αι αι α α της γης ϑε ρος και ε ε ε αρ
Συ ε ποι οι η σα ας α αυ τα α α
Α α αλ λη η η λου ου ι ι ι α
α α α
Ἄ να στα ο ο Θε ε ε ος ε

πι βλε ψον ε πι τη δι α θη κη ην σου
μη ε πι λα θη της φω νη η ης των οι οι
κε τω ω ω ων σου ου ου Α α αλ λη
η η λου ου ι ι ι α α α α

Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος δ΄



Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…






αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

Εἴη τό ὄνομα...

Ἦχος Δι



Τόν Εὐλογούντα...



Ἦχος Βαρύς Ζω
Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η


Π
Ζ
Π
π
ε πα α κου σον ϥ των πα ρα α κα λου ουν των
Ζ
Μ
σε ε ε ε ε ε ε ε ε ε

Θεοτοκία εἰς ἦχον Βαρύν
Μή καταπιστεύσεις με

Ἦχος Βαρύς ⸗ Ζω



Με Μη η κα τα α πι στε ευ σης με αν
θρω πι νη προ ο στα σι α Πα να γι α δε
εσποι να α α αλ λα δε ξαι δε ε η σι ι ιν
του ι κε ε του σου θλι ψις γαρ ε ε
ε χει με φε ε ε ε ε ε ρειν ου
δυ να μαι των δαι μο νων τα το ξε ευ μα
τα σκε πην ου κε ε κτη μαι αι αι ου ου δε
που ου προ σφυ υ υ γω ο α α θλι ος
παν το θεν πο λε μου ου με νος και πα ρα


μυ θι ι ι αν ουκ εχω πλη ην σου Δε ε
σποι να του κο ο ο σμου ελ πις και προ στα σι
ι α των πι στων μη μου πα ρι ι δης
την δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η
σον

Μεταβολή τῶν θλιβομένων

Ἦχος Βαρύς ϖ Ζω



Ἡ Μεταφορὰ Κειμένων – Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.